## V.

# Ein astronomisches Kapitel über Kometen

(Vers 3203—3394)

# und Mondfinsternis

(Vers 3395—3413).

---

### 1. Μέθοδος περὶ τῶν κομητῶν.

<Κομήτης Διός.>

Ὁ γὰρ κομήτης πέφυκεν   στρογγυλώδης ὡς Μήνη,
ἔχων ἀκτῖνας ἄνωθεν   ὡς κόμας ἐν τῇ κάρᾳ
πυρώδεις αἱματοειδεῖς   καὶ γνώριμος ὑπάρχει·
ἔχει δὲ φύσιν τοῦ Διὸς   κεκλημένος Φαέθων,
ὡς καλεῖσθαι τοὺς ἅπαντας   σημειακοὺς ἀστέρας
ἐπισήμους τυγχάνοντας   κομήτας ἐπικοίνως.
οὗτος ἡνίκα τοὺς λαμπροὺς   καὶ ἀργυροῦς πλοκάμους
ἐπὶ τὸ μέρος τῆς ἕω   ὅλως προσακοντίσαι
προσὼν Καρκίνῳ ἢ Ἰχθυῖ   ἢ τῷ δεινῷ Σκορπίῳ,
Πέρσαις μηνύει ἀγαθά·   ἐκχυθέντες γὰρ οὗτοι
πλοῦτον καὶ πόλεις ἕξουσιν   καὶ αἰχμαλώτων πλῆθος,
πάλιν ἐπαναζεύξουσιν   πρὸς ταῖς ἰδίαις χώραις
μηδ᾽ ὅλως ἐκ Ῥωμαϊκῶν   παροπλισθέντες ὄχλου.
ὅταν δὲ καὶ ἀπόστροφος   ὁ κομήτης ἀνίσχει
τοῖς, καθ᾽ ὧν ἀποστρέφεται,   τὰς ἀστοχίας φέρει.
εἰ δὲ πρὸς νότον ἀφορᾷ,   εὐδαιμονίαν Νεῖλος
πλείονα ἐπιδώσειεν,   τοὺς καρποὺς ἀφθονίαν,
εἰρήνην, εὐετηρίαν   τοῖς Αἰγυπτίοις νέμει.
εἰ δ᾽ οὗτος ἀποστρεφόμενος   πρὸς δύσιν ἐπιβλέπων,

---

3203—3394 P f. 99r—100v Kap. ϛ (?) ϛ′ μέθοδος περὶ τῶν κομητῶν· διδάξαι βουλόμενος (— νοις liest Engelbrecht Heph. 18); der Index des V nennt f. 27v ein im Cod. selbst herausgerissenes (f. 334v steht am oberen Rand λίπουν ε′) Kapitel ρπζ′ καὶ περὶ τοὺς κομήτας μέθοδος καὶ διδασκαλία καὶ περὶ τυφῶνος καὶ λαμπάδες ἐν πόλῳ. 3206 κεκλημένη P ‖ 07 σημεια (drüber κους ?) ✻ ✻ P (διοσημειακοὺς ἀστέρας Lyd.) ‖ 08 ἐπισήμου τυγχάνοντος κομήτης ‖ 09 ὄντος ‖ 10 ἑῶ ὅλος ‖ 11 πρὸς ὧν | Ἰχθυς gekürzt ‖ 12 ἐκ χευθέντες ‖ 13 ἐκ μαλώτων ‖ 14 πάλιν] πλὴν P ‖ 15 μηδ᾽ ἄλλος ‖ 17 ἀποστρέφεσθαι ‖ 18 νείλου ‖ 19 πλείονος ‖ 20 εὐεκτηρίαν ‖

---

3203—3413 aus Lydus, und zwar 3202—05 aus Lyd. 31, 5 f.; 3206—29 aus Lyd. 42, 10—43, 9 und 43, 13—19, vgl. Stud. 20 und Plin. N. H. II. 25—38.

ἄπειρος καὶ ἀνέλπιστος   τοῖς Ῥωμαίοις ὁ πλοῦτος,
καὶ Πέρσας πολεμήσουσιν   καὶ κρατήσουσιν χώρας,
ὥστε καὶ ἀναιρήσουσιν   τὸν δυστυχῆ Σουλτάνον.
εἰ δ᾽ ἀπὸ ἄρκτου ἀφορᾷ   ἀφεὶς τὸν ἀπὸ νότου,
καταδραμοῦνται Λιβύης   οἱ ἀπὸ τῆς Εὐρώπης
καὶ τοῦ βορείου μέρους τε   κατὰ νότον δυσμάς τε,
τοὺς δ᾽ ἐπὶ τὴν ἑωθινὴν   Αἴγυπτον στρατιώτας
τὰ χείριστα ἐπάξουσιν   ὅρον ἐνιδρυμένοι.

## Περὶ τοῦ Δίσκου ἀστέρος.

Ὁ δὲ δισκεὺς λεγόμενος,   ἐκ φύσεως τοῦ Κρόνου,
οὗτος ἀπὸ τοῦ σχήματος   κυκλοτερὴς ὑπάρχων
καὶ καθαρὸς ὡς ἤλεκτρος,   εἷλε προσηγορίαν,
ὥστε πάντως κυκλοτερής· οὐκ ἔστιν τοῦτο δῆλον,
πρὸς ποῖον ἐπιβλέψειε   μέρος ἀπὸ τοῦ κόσμου.
ἐξ ἀνταυγείας <ἀνιὼν>   μᾶλλόν γε τοῦ Ἡλίου
θορύβους τε καθολικοὺς   καὶ πολέμους ἐξ ἄρκτου
καὶ πτῶσιν ἀλλεπαλλήλοις   προσώπων μεγιστάνων
καὶ εὐτελῶν καὶ ἀγεννῶν   τὴν εὐπραγίαν φέρει,
κίνδυνον δὲ τὸν μέγιστον   μηνύει πρώταις τύχαις·
τῶν δὲ Ῥωμαίων ὁ στρατὸς   ἐλαττωθεὶς τοσοῦτον
ὡς ἐγγὺς ἀποτέλεσμα   κατελθεῖν ὀλεθρίου.

## Λαμπαδίας.

Ὁμοῖος λαμπαδίας δὲ   λαμπάδα καιομένην
Ἑρμοῦ τε καὶ τοῦ Ἄρεος   <τὴν> φύσιν ἔχων οὗτος
ἀνίσχων πρὸς ἀνατολὰς   <ἰδὼν> ἀκτῖνας φέρει,
ἀχλὺν ἀέρος γίνεσθαι,   βλάπτεσθαι τὰς ἀμπέλους,
ἀποτίκτουσαν σκώληκαν   τὸν καλούμενον ἶπαν,
τοῖς δὲ καρποῖς φυήσεται   ἡ λεγομένη αἶρα.
καὶ κεραυνῶν ἐπιβολὰς   κοσμικῶς φέρει ταῦτα,
ὥστε καὶ τὴν ἀέναον   ῥύσιν τῶν ποταμίων
ξηρανθῆναι τὰ μάλιστα   ἐξ αὐχμώδους <τοῦ> πάχους.

---

P: 3223 *χώραις* (oder *χῶρες* zu schreiben ? vgl. 1209) ‖ 24 *δύστυχὴν* (so)! ‖ 25 *ἀφ᾽ ἧς* ‖ 27 *μέρος* | *νότου* ‖ 28 *τὴν ἡεοτικὴν* (*ἀνατολὴν καὶ* Lyd.) ‖ 29 *ὅρον ἐνιδρυμένοι* P (*οἱ πρὸς . . φυλακὴν τῶν ὅρων ἐνιδρύμενοι* (!) Lyd.) ‖ Vor 30 *περὶ τοῦ δίσκου* (vgl. 3269; *δισκέως* Lyd.) *ἀστέρος· δίσκος ἀστὴρ* ⊙ am Rand ‖ 32 *ὄλεκτρος* ‖ 33 *πάντες* ‖ 35 Lücke im P (es fehlt der rote Anfangsbuchstabe des Verses), mit *ἀνίσχων* des Lydus ergänzt | *ἐνταυγίας* ‖ 37 *ἀγωνῶν* ‖ 41 *ὁμοίως* | *λαπάδα* ‖ Am Rand eine Figur wie Ψ ‖ 42 *καὶ τοῦ ἄρεως* P; (*καὶ αὐτός* im Lyd. verdächtig) ‖ 43 <*ἰδὼν*> ergänzt (*ἴδῃ* Lyd.) ‖ 45 *καλουμένον* ‖ 47 *ἐπιβολαὶ κοσμικὸς* ‖ 49 *μάλισθα εξ ἀχινώδους πάχους* ‖

---

3226 = fast wörtlich Lyd. | 3230—40 aus Lyd. 44, 1—12 | 3241—61 aus Lyd. 41, 4—42, 9 | 3241 vgl. Lyd. 32, 2.

εἰ δ' ἐπὶ νότον ἀφορᾷ, ξηρῶδες καὶ λοιμῶδες
ἀέρος τὸ κατάστημα καὶ ξηρανσίαν Νείλου
καὶ πληθισμὸν τῶν ἑρπετῶν ἀνὰ πᾶσαν τὴν γαῖαν.
εἰ δὲ πρὸς ἄρκτον ὁ ἀστήρ, τὸ πολὺ τῆς ἀχλύος
τῷ ψυχρῷ ἡττηθήσεται τοῦ κέντρου. πλὴν τὸ πῦρ δὲ
ἀδοκήτως ἐν ὄρεσι καὶ ὕλαις ἐμπεσεῖται,
ὡς μηδ' ἐκτὸς γενήσεσθαι τοὺς ἐν ἄκροις ἰόντας
ἢ μᾶλλον καὶ ἐν ταῖς φρουραῖς, τῆς δεινῆς βλάβης λέγω.
θάνατος δὲ πληθὺς ἔσται <μάλιστα> Αἰγυπτίοις.
ὅταν δὲ καὶ πρὸς τὰς δυσμὰς ἀστὴρ οὗτος προσβλέψει,
κεραυνούς τε καὶ ἐμπρησμοὺς μαντεύεται ταῖς χώραις
καὶ πτῶσιν τοῖς βοσκήμασιν τῶν τετραπόδων ὅλων.

## *Περὶ τοῦ ἀκοντίου.*

Ὁ δ' ἀκοντίας ὅμοιος ἐστὶν τῷ ἀκοντίῳ,
κραδαίνεται ὁ σίδηρος· οὗ καὶ φανέντος τότε
τῆς Ἰουδαίας περίχωρον ὅλον ἀναλωθείη.
τοῦτο δὲ καὶ Εὐσέβιος ὁ τοῦ Παμφίλου λέγει.

## *Περὶ τοῦ ξιφίου.*

Ὁ δὲ ξιφίας παρ' αὐτῶν ὠχρότερος ὀλίγον
ξιφήρεις μὲν τὴν ἔκτασιν τὰς ἀκτῖνας δεικνύων,
οἷος ἐν ὕψει γέγονεν ἀστήρ, ὡς πρὸς τῶν ἄρκτων
φανεὶς μὲν δίσκος πρότερον κυκλοτερὴς τυγχάνων,
πρὸς δὲ τὴν λῆξιν ἔσχατον ὠχρός τε καὶ ξιφήρης.
τοῦτο δὲ γέγονεν καὶ ἐν ἰνδίκτῳ τῷ τετάρτῳ
εἰς μῆναν τὸν Ἀπρίλιον εἰς τὰς εἴκοσι πέντε.
ὁ γὰρ ξιφίας ὁ ἀστὴρ Ἑρμοῦ προσομοιοῦται.
εἰ μὲν πρὸς μέρος τῆς ἕω οὗτος προσεπιβλέπει,
οἱ Αἰθιόπων καὶ Περσῶν δυνατοὶ τοὺς κρατοῦντας
φαρμάκοις διαφθείρουσιν· τὸ δ' αὐτὸ καὶ Φοινίκη.
εἰ δὲ πρὸς μεσημβρίαν τε προσβάλλει τὰς ἀκτῖνας,
δόλους τοῖς Αἰγυπτίοις τε καὶ ἔθνεσιν Λιβύης,
θανατηφόρους λέγω δή, δεινῶς ἐπισημαίνει.

---

P: 3250 ξηρώδης | λοιμώδης || 51 ξηρανσία (so) || 52 πληνθησμὸς || 54 τῷ ψυχρῷ Lyd.] καὶ ψυχροῦ | κέντρου gekürzt || 55 ἀδόκητος ἐν ὄροις καὶ ὕλοις || 56 τοῖς ἐν ὑγροῖς ἰοῦσιν P (τοὺς ἐν ἄκροις Lyd., τοὺς ἐν ἀγροῖς die Lydushandschriften) || 58 πληνθὺς ἔσται τοῖς Αἰγυπτίοις P (πολὺς ἔσται καὶ μάλιστα ἐπὶ τῆς Αἰγύπτου Lyd.) || 60 μαντεύεσθαι || 64 τῆς] εἰς || 66 Am Rand ein Zeichen wie ♂ | ὀχλοτερος || 67 ξιφήρης || 68 τὸν ἄρκτον || 69 κυκλότερος || 70 ὠχροῖς || 73 ξειφί ὁ * || 74 ἑῶ οὕτως || 77 μ . . β. αν gekürzt || 78 f. δόλους — θανατηφόρους mit Lydus] δούλοις — θανατηφόρον ||

---

3262—67 aus Lyd. 31, 7—11 || 3273—85 aus Lyd. 40, 4—41, 3 ||

*ὅτε δ' ἀπ' ἄρκτου ἀφορᾷ, ἐπίμιξιν ἀρκτῴων*
*καὶ Λιβυκῶν ἐθνῶν δηλοῖ, ὥστε καὶ θυγατέραν*
*δυνάστου Λίβυος δοθῆναι τῷ ἀρκτικῷ τυράννῳ,*
*ἐπιβουλεῦσαι δὲ αὐτὴν τὸν ἴδιον πατέρα*
*καὶ παραδοῦναι δὲ αὐτὸν ἔρωτι ἀσεβείας*
*ὡς κρατουμένην δυνατῶς περὶ τὸν ἄνδρα ταύτην.*

## *Ἱππεύς.*

*Ὁ δὲ κομήτης ὁ ἱππεὺς οὕτως προσαγορεύθη*
*ὡς ἔχων δίκην ἄνωθεν ἱππολόφους ἀκτῖνας*
*προσεπιρραίνων συνεχῶς τῷ ἰδίῳ τῷ κύκλῳ,*
*ὀξύτατος δὲ τῶν λοιπῶν κομητῶν ἐντυγχάνει.*
*πλαγίους καὶ πυρώδεις δὲ εἰσφέρει τοὺς πλοκάμους,*
*<ἀλλὰ καὶ> αὔλακά τινα φωτὸς προσαποτείνει*
*καὶ πάλιν γύρωθεν αὐτοῦ κύκλον τινὰ συνάγει.*
*οὗτος ὅταν ἐκ δύσεως πυρώδης προσανίσχων*
*ἐξακοντίζων εἰς ἕω τὰς ἰδίας ἀκτῖνας,*
*τῶν Περσῶν ἐπανάστασιν ἀπειλεῖ κατὰ χώρας,*
*πάντα δὲ τὰ στρατεύματα τῶν Ῥωμαίων σκηπτούχων*
*οὐδ' ὅλως ἐξορμήσουσιν τὴν ἀπάντησιν τούτων,*
*ὥστε γενέσθαι νεωστὶ στρατολογίαν ἄλλην.*
*γενήσεται δὲ καὶ λοιμὸς πρὸς ἵππους στρατευμάτων,*
*ἀλλ' οὐ πρὸς Πέρσας ὁ λοιμός, πρὸς τοὺς Ῥωμαίους μᾶλλον,*
*πλὴν δὲ οὐκ εὐτυχήσουσι οἱ τῶν Περσῶν μεγάλοι,*
*ἀλλ' ὕστερον προσφεύξονται ἐν τῷ ἰδίῳ τόπῳ,*
*καὶ αἱ ληφθεῖσαι παρ' αὐτῶν ἀφεθήσονται πόλεις,*
*ὁ δὲ Σουλτᾶνος τῶν Περσῶν προσφεύγων ἀπολεῖται,*
*καὶ πᾶς πλοῦτος ἀφαιρεθῇ παρὰ στρατοῦ Ῥωμαίων.*
*Ἄλλος κομήτης ἂν φανῇ ὠχρὸς ὡς πρὸς τὸν πόλον,*
*πολέμους μὲν τινας πολλούς, ἀλλ' οὐ Περσῶν σημαίνει,*
*σεισμοὺς καὶ πένθους δηλαδὴ ἐγκόψωσιν ἀνθρώποις,*
*λοιμὸς δὲ τοῖς βοσκήμασιν καὶ λιμὸς τοῖς ἀνθρώποις·*
*πρὸς μεσημβρίαν οὗτος δὲ εἰ πάλιν ἐπιβλέψει,*

---

P: 3280 *φορᾷ* || 81 *ἐθνῶ* || 82 *δοθῆναι* P (und Lyd.); *δοθεῖν* zu schreiben? || 83 *αὐτὸν* || 84 *δὲ αὐτὸν*] *ἑαυτὴν* || 85 *ταύτησ* || 86 *προσαγορεύθη* so || 87 *ὑπολόφοις* (*λοφιᾶς ἵππου* Lyd.) || 88 *τὸ ἰδίω τοῦ κύκλου* || 92 *κύκλον τινὰ* mit Lyd.] *κυκλοτερεὶ* || 94 *τὰς*] *τὰ* || 97 *ὅλων* | (*πρὸς ἀπ.* Lyd.) || 99 *λοιμὸς* Lyd.] *λιμὸς* || 3301 *εὐτυχήσεται* | mit *μεγάλης* beginnt im Lyd. ein neuer Satz | *μεγάλωσ* P || 03 *καὶ αληφθήσαι* || Vor 06 im P *κομήτης* ⊖, im Lyd. ohne Titel anschliessend || 08 *πένθους* (so) || 09 *λιμὸς κατὰ χώραν τοῖς ἀνθρώποις* || 10 *οὕτως δὲ οὐ πάλιν* P (*εἰ δὲ . .* Lyd.) ||

---

Zu 3283 f. hat Lydus: *ἐπιβ. τῷ πατρὶ τὴν παῖδα καὶ προδοῦναι αὐτὸν ἔρωτι ἀσεβεῖ περὶ τ. ἄ. κρατουμένην*) ||

3286—89 aus Lyd. 32, 2—5 || 3290—3305 aus Lydus 35, 12—37, 1 || 3303 wörtlich Lyd. || 3306—29 aus Lyd. 37, 7—39, 4 (*πένθη — ἐνυσκήψουσι* 3308). ||

λιμὸς τῇ θερινῇ τροπῇ  προσπέσῃ τῇ Λιβύῃ
καὶ πλῆθος ἀνωμαλιῶν  καὶ κακῶν τε ποικίλων.
ὅταν δ' ἀπ' ἄρκτων ἀφορᾷ  πρὸς τὸ βόρειον μέρος,
πόλεμος ἐγερθήσεται,  τῷ μέρει τούτῳ λέγω,
ἐν δυνάμει στρατεύμασιν  κατὰ τῶν πολεμίων·
οἱ τῶν Ῥωμαίων ἀρχηγοὶ  καὶ καταπονηθέντες
συλλαβοῦνται καὶ ξενικὴν  δύναμιν βοηθοῦσαν·
καὶ τότε μὲν οὐκ ἀγεννῶς  ἐξ ἀρχῆς καθοπλίσει,
πρὸς ὀλίγον δ' εἰς παντελῆ  δυστυχίαν πεσεῖται,
ἀναιρεθῆναι δ' ἅπαντας,  τοῦ δ' ἔθνους ἡγεμόνα
ἐξανδραποδιζόμενον  δεσμευθῆναι ταχέως.
ταῦτα δὲ χώραις ἔσονται  Λιβύης καὶ Ἀσίας
καὶ φρέτῳ οἱονεὶ πορθμῷ  ἄχρι καὶ τῶν Γαδείρων.
αὐχμὸς δὲ ὁ δεινότατος  πρὸς Αἴγυπτον ἐμπέσῃ
καὶ νόσος ἡλικίωσιν  τὴν νέαν Αἰγυπτίων,
εὐδαιμονίαν Νεῖλος δὲ  οὐδ' ὅλως εὐτυχήσει.
εἰ δ' ἐπὶ δύσιν ἀπίδῃ  ὁ τοιοῦτος κομήτης,
μέχρι στηλῶν τῶν Ἡρακλῆ  λιμὸς καὶ πόλεμός τε
καὶ πτώσεις τοῦ βοσκήματος,  πρὸς δὲ καὶ στρατευμάτων.

### Κομήτης <τυφών>.

Πρὸς τούτων δὲ καὶ ἕτερος  κομήτης ὁ καὶ τύφων,
ὅς ἐστιν δρεπανοειδής·  στυγνῶς γὰρ ἔνθεν βλέπει.
πολλὰ σημαίνει τὰ κακὰ  καθολικῶς ἐν χώραις,
ἐξωτικοῖς τε πόλεμος  καὶ μίξεις ἐμφυλίοις,
περὶ τοὺς δήμους στάσεις τε,  σπάνις τῶν ἀναγκαίων,
καὶ ἡγεμόνες ἔνδοξοι  ἐν πολέμοις πεσοῦνται,
εἰ πρὸς τρεῖς ἢ καὶ τέσσαρας  ἡμέρας ἐμφανείη·
εἰ δὲ <καὶ> πλέον, τῶν κακῶν  οὐδαμῶς ἔσται τέλος.
πλεῖστοι δὲ τοῦ στρατεύματος  Ῥωμαϊκοῦ πεσοῦνται
καὶ αὐτοῖς δὲ τοῖς ἄρχουσιν  στασιάζων ὁ δῆμος
κατάλληλοι τ' ἐναλλαγμαὶ  πέλουσιν τῶν ἀρχόντων
ἐμπρησμοί τε δεινότατοι  πόλεις ἀποτεφροῦνται.
πρὸς δὲ μέρος <τὸ> δυτικὸν  τὰ χείρονα μηνύει·
ἐκ πολεμίων τῆς ἕω  οἱ τῆς δύσεως ὅλοι
φρουρήματα, διώγματα  καὶ δεινὰ προσπεσοῦνται.

---

P: 3311 λιμὸς Lyd.] λοιμὸς | προπέσει || 13 ἐφορᾷ || 18 ἀρχῇ || 19 δ' εἰς Lyd.] δὲ P || 20 τοὺς δέθνους ἡγεμόνας || 23 καὶ αἰγύπτου φέρεται οἱονεὶ P (φρέτῳ οἱονεὶ Lyd.) || 25 ἡλικίασιν P (ἡλικίᾳ Lyd.) || 26 νεῖλου || 28 ἡρακλεῖ || 30 τύφον P wie auch die Lydushandschr. 166 unten, sowie Vers 3361; am Rand ein Zeichen wie ein ς. || 33 ἐμφωλίοις || 44 φρουρήγματα | προπεσοῦνται ||

---

3330 vgl. Boll 164. || 3330—44 aus Lyd. 44, 13—45, 19; (3341 ἀποτεφροῦντες Lyd.) ||

### Κομήτης <πίθος>.

Ἕτερος δὲ <καὶ> πέφυκεν   κομήτης ὥσπερ πίθος·
καπνώδους μέν ἐστιν φωτὸς   ἀλλὰ πεπληρωμένος,
τὸ δ' ὄνομαν συμπέφυκεν   ἐκ τοῦ σχήματος τούτου.

### Κομήτης <κεράστης>.

Μεθ' ὧν κεράστης ἕτερος   τοὺς πλοκάμους ἐκφέρων
ἔνθεν κἀκεῖθεν γύροθεν   δίκην οὗτος κεράτων.

### Κομήτης <σάλπιγξ>.

Ἄλλος δὲ σάλπιγξ λέγεται   παρὰ τοῦ Πτολομαίου,
ἐν Τετραβίβλῳ μέμνηται,   ἐξ ἧς καὶ οὐδαμόθεν
οὐκ ἔχω ὑφηγήσασθαι   τῶν ἀποτελουμένων.
ἀλλαχοῦ γὰρ οὐχ εὕρεται   κατάστημα κομήτου
ἴσον ταύτης τῆς σάλπιγγος,   ὥς φησιν Πτολομαῖος.
Γίνονται δὲ καὶ ἕτεροι   κομῆται κλήσει τράγοι,
δίκην μαλλῶν φαινόμενοι   ὡσεὶ ἐρίων πόκοι
νεφέλας περικείμενοι   τινὰς ὡσεὶ ἐρία,
εἰς δοράτων τὰ σχήματα   εἰς τάχος εἰστελοῦνται.
οὐ πανταχοῦ δὲ φαίνεσθαι   περὶ τοῦ πόλου τόπον,
ἀλλὰ μόνον ἐμφαίνεσθαι   περὶ τὸν γαλαξίαν.
οἱ δέ γε μὴν καὶ τύφωνες   περὶ τοῦ νότου τόπον·
σφαῖραι πυρώδεις δέ εἰσιν · ὡς πυρὸς σύνδεσμοί τε,
οἳ καὶ φανέντες ἔσεισαν   τὴν Αἴγυπτον τελείως.
πρὸς τούτοις καὶ ὁ πάνσοφος   Ἀριστοτέλης λέγει,
ὡς ἐξ ὑγρᾶς οὐσίας τε   φαίνεσθαι ἐν Αἰγύπτῳ
διὰ τὴν πολλὴν ὑγρότηταν   τὴν ἐν Αἰγύπτῳ οὖσαν.

### Περὶ τοῦ στέφανου.

Περὶ δὲ καὶ τὸν Στέφανον,   τὸν ἐν τῇ ἄρκτῳ λέγω,
κομήτης ἀναφαίνεται·   οὗτος ὅταν φανείη,
τὴν κίνησιν ἐπαπειλεῖ   Περσῶν καὶ στρατευμάτων·
ἐφάνη δὲ καὶ ἄλλοτε,   ὅτε Νέρων ἐκεῖνος
ἀβέβαιος καὶ δόλιος   ἤρχετο τῆς μανίας.

---

P: 3345 am Rand ein Zeichen wie ⊔ || 46 καπνώδης || 48 am Rand ⁎ | τὰς || 49 οὕτως || 50 σάλπιξ | am Rand ein Zeichen wie Ψ || 53 εὕρεται (so) || 55 τράγοι Lyd.] τράγων || 56 μάλλον | ως οἱ ἐρίων πόκους || 57 νεφέλαι | ὥς οἱ || 58 δ' ὀρεῖτον P (δοράτων Lyd.) | τάττυς || 59 φαίνεσθαι (so), ergänze πεφύκασι aus Lyd. | τούπων || 61 εἰ δὲ | τύφωνες im Text, τυφῶνες noch am Rand || 62 σφαῖραι gekürzt ○ ○$^{αι}$ | συνδεσμεῖται || 70 Νέρων Lyd.] γέρον P; zur Namenverderbnis vgl. 373 ||

---

3345—95 aus Lyd. 31, 12—35, 5 (3351 Ptol. tetrab. II, 8 f. 23 v, vgl. Lyd. 28 Anm.) || 3366 ὑγρότητα (wie Cod. D des Lydus), ξηρότητα in den andern Lydushandschriften. ||

### <Περὶ λαμπάδων.>

Πρὸς τούτου ἀνατέλλουσιν   καὶ λαμπάδες ἐν πόλῳ,
ὁποῖόν τι καὶ γέγονεν   ἐν παλαιτάτοις χρόνοις
Γερμανικοῦ τοῦ Καίσαρος   ἀγομένου ἐν πόλει.
σχήματα τῶν λαμπάδων δὲ   τοῖς γνωρίσμασιν δύο·.
τὰ μὲν βολίδες λέγονται,   τὰ δὲ αὐτῶν λαμπάδες.
αἱ μὲν βολίδες πέφυκαν   πυρώδεις τε δι' ὅλου
καὶ τὸ δι' ὅλου ἕλκουσαι   εἰς αὔλακαν μακρέαν.
<φαίνοντ>αι πάλιν καί τινες·   δοκοὺς αὐτὰς καλοῦσιν,
αἱ δὲ λαμπάδες ἐξ ἀρχῆς   εἰσὶν δὲ κεκαυμέναι.
γίνονται δὲ καὶ χάσματα   ἄνωθεν πρὸς ἀέραν,
οὗ καὶ συμβαίνουν κάτωθεν   σάλοι καὶ διαστάσεις
καὶ ῥήξεις αἱ δεινόταται   τυγχάνουσαι πρὸς γαῖαν.
ἀλλὰ καὶ χάσμα ἕτερον   ἐμπρησμῷ τῷ καυσώδει
παραπλήσιον φαίνεται   πολλάκις πρὸς τὸ ὕψος.
τότε δὴ τοῦτο γέγονεν,   ὡς εὑρίσκεται βίβλοις,
ὅταν Ἀμύντου Φίλιππος   ἐσάλευσεν Ἑλλάδα.
φαίνονται καὶ πρὸς Ἥλιον   ἀστέρες ἐν ἡμέρᾳ
καὶ γύρωθεν τοῦ κύκλου τε   στεφανῖται καὶ δίσκοι
τὸ χρῶμα ποικιλόχροοι,   οἳ καὶ φανέντες τότε,
ἐμφύλους ὅτε Αὔγουστος   ἐνέβαλεν πολέμους
ἐκδικῶν τὸν πατέραν τε,   ὡς Καμπέστριος λέγει.
φαίνεσθαι δὲ συμβέβηκεν   πρὸς αὐτὸν τὸν Φωσφόρον
ὥσπερ τόξον ὑπόκιρρον   τὸ σχῆμα τόδε φέρον.

### 2. Περὶ διαφόρων δράσεων τοῦ Ἡλίου.

Λέγεται δ' ἀντιδίσκωσις   πρὸς Ἥλιον Σελήνης
Ἥλιον μὲν καλύπτεσθαι   παρεμπτώσει Σελήνης,
ταύτην δ' ἀποκαλύπτεσθαι   τῆς γῆς τῇ ἀντιπτώσει

P: 3377 *πυρώδεις τε* Lyd.] *λαμπάδες δὲ* ‖ 78 *εἵκουσαι* | *μακρέαν* (so), Lyd. hat *μακρὰν* ‖ 79 *φαίνονται* Lyd.] *αἳ* P | *δοκοὶ αὐτοὺς* ‖ 82 *οὗ* Lyd.] *αἱ* P | *συμβαίνων*, vgl. 2394 ‖ 83 *καὶ ῥήξεις καὶ δεινοι*ᵀ ‖ 84 *κοσώδῳ* ‖ 85 *παραπλησίω* ‖ 86 *εὑρισκετω* ‖ 87 *ἀμέντου* ‖ 88 *ἡμέρα*, gekürzt *η* und drüber ein Zeichen wie *σ* ‖ Bei 89 sind am Rande 2 kleine Kreise mit der Beischrift *ἀληθινῶς βένετοι* | 89 *στεφανῆται* (*στέφανοί τε* ?) ‖ 91 *τότε* ‖ 92 *καπέστριος* ‖ 93 *μαίνεσθαι* | *τὸ* ‖ 94 *τάδε* ‖ Am Rande Sternchen und *οὐρανὸς κγ' κδ'· στεφανῆται καὶ δίσκοι· βολίς... τοῦ ἐκπίπτοι εἰς τὴν γ' δοκός·*

3395—3413 (B) P; Titel nur P, aber nach 3402 erst, mit dem Zusatz *ἀληθὲς κέντρου;* P f. 100ᵛ an 3394 anschliessend. In B f. 87ᵛ ist nur 3402—04, 3407—13 erhalten; das Stück bildet im B den Anfang der Kamaterosüberlieferung (Stud. 9,8 nachzutragen), im P deren Ende. ‖ 96 *Σελήνης*] *τὰν τούτου* P ‖ 97 *αὔτη* P ‖

3377 *ἀγομένου*, ergänze *θεάτρου* aus Lyd. ‖

3395—3406 aus Lyd. 17, 20—18, 3 und 18, 11—12. In 3396 ergänze aus Lyd. *δέδοται* ‖

*καὶ νύκταν τὴν σκοτόμηνον   γίνεσθαι τὴν ἡμέραν*
*πρὸς ὥρας τὸ διάστημα   εἴτε καὶ πλεῖον ταύτης.*
*τοῦτο δὲ μόνον γίνεσθαι   ἐπὶ συνόδου λέγω,*
*ὅταν ἐπὶ τὸν σύνδεσμον   μοιρικῶς περιστῶσιν.*
*ἡ γὰρ Σελήνη κρύπτεται   τῇ σκιᾷ τοῦ συνδέσμου,*
*ὁ δ᾿ Ἥλιος τῆς Μήνης τε   καὶ πάντως ἔσται νύκτα.*
*τοῦτο δὲ καὶ συμβέβηκε   δὶς ἀληθῶς γενέσθαι*
*ἡμέρας πεντεκαίδεκα   ἐν Καισαρείᾳ λέγω*
*Καίσαρος Οὐεσπασιανοῦ   ὑπάρχου τῶν Ῥωμαίων.*
*ἐν Ταύρῳ ἢ Παρθένῳ τε   ἢ καὶ τῷ Αἰγοκέρῳ*
*τοῦτο συμβαίνει γίνεσθαι   τὸ πάθος τῶν ἀστέρων,*
*καρπῶν ἁπάντων ἔνδειαν   τῶν σπερομένων φέρει·*
*εἰ δ᾿ ἐν Ζυγῷ ἢ Ὑδροχῷ,   ἀλλὰ καὶ τοῖς Διδύμοις,*
*φθορὰ σεισμοί τε καὶ λιμοὶ   ἐνσκήψουσι πρὸς γαῖαν·*
*ἐν δὲ Καρκίνῳ, Σκορπιῷ   εἴτε καὶ τοῖς Ἰχθύσιν,*
*ὄχλων φθοραὶ καὶ πόλεμοι   καὶ ὄλεθρος ἰχθύων.*

---

P: 3399 *πλείω* P || 3402 *Σελήνη μὲν οὖν* B: *ἡ γὰρ σελήνη* P || 03 *ὁ δ᾿* fehlt B | *καὶ νὺξ γὰρ ἔσται πάντως* B || 04 *τοῦτο δὲ* P: *ὅπερ τοῦτο* B || 05 und 06 nur P || 06 *ἐσπεσιανοῦ ὑπαρχος* P || 07 *ἐν*] *ἢ* BP | *τὸ* BP || 08 *τοῦτο* P: *ὃ καὶ* B || 09 *σπερομένων* BP vgl. 1949 M (*σπορίμων* einige Lydushandschr.) || 11 *φθορὰ* P: *λοιμοὶ* B | *ἐνσκήψουσαν* P || 12 *καρκίνω κ᾿ σκορπ.* B: ♏ ♋ P; vgl. 3551 || 13 *φοραὶ* B || Die Kamaterosüberlieferung in P, von 3103 an fortlaufend, ist mit 3413 zu Ende; es folgt in Prosa *μέθοδος εἰς τὸ εὑρεῖν τῆς σελήνης καὶ τοῦ ἡλίου ἐκλείψεις*, Beginn *δέον ἀποσημειώσασθαι.* Im B folgt hier Vers 3103 ff.

---

3402 f. erwähnt im Katalog der Bibliotheca Bodleiana, Oxford 1853, Band I, 332 f. sowie bei Cramer, Anecdota Oxon. III, 404 Anm. 6. || 3405 *ἡμέραις* Lyd. || 07–13 aus Lyd. 19, 2—13, Urquelle Plin. N. H. II.